§. ψοα΄. Ἀντιστραφέντων δὲ τῶν λόγων κατὰ τὸ ἀνάπαλιν, ὡς ἐν τοῖς Γεωμετρικοῖς, καὶ τῶν μειζόνων ἐλασσόνων καθισταμένων, εἴτις ἐπὶ μὲν τοῦ προτέρου (§. ψξθ΄.) διὰ τῆς τοῦ ἑπομένου ἀναιρέσεως συναναιρεῖν ἐθέλοι τὸ ἡγούμενον. Οἷον,

Σοὶ δ᾽ ὀξυδερκοῦντι οὐδαμῶς ὁρᾶται· ὥστε πολλοῦ γ᾽ ἂν δέοι τοῦ ἐμοὶ ὁρᾶσθαι καμμύοντι.

Ἐπὶ δὲ τοῦ δευτέρου (§. ψο΄.) ὡσαύτως.

Ἀλλ᾽ ἡ ἠλεκτρίζουσα δύναμις, κἂν τῷ ἀπαιδεύτῳ σαφῶς κατανοηθείη.

Ἐκ πολλοῦ ἄρα τοῦ περιόντος αὕτη τῷ σοφῷ τε καὶ ἐπιστήμονι κατανοηθήσεται.

Τραπείη ἂν ὡς εἰκὸς καὶ ἡ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον τάξις, τῆς ἐφόδου χωρούσης κατὰ τὸ ἀντίστροφον.

§. ψοβ΄. Ὁμοιολόγων δὲ πρὸς ἅπερ ἀνάγεται πεφυκότων τοῦτε ἡγουμένου, καὶ τοῦ ἑπομένου, ἐκ τῶν ὁμοίων ὁ Ὑποθετικὸς συλλογισμὸς εἰρήσεται συμπεραίνειν, εἴτε κατασκευὴν ὁμοίως καὶ ἀνασκευὴν θατέρου διὰ θάτερον. Καὶ κατασκευαστικῶς μέν. Οἷον,

„Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς „ὑμῶν τὰ σαρκικὰ θερίσομεν; οὐ μέγα δηλονότι. Ὁμόλογον γάρ, ὅσονγε τῇ πρὸς τὸ ζῆν ἐκ τοῦ τρέφεσθαι ἑκατέρωσε χρείᾳ. Ἄλλως γὰρ τὸ ὑπερέχον τῆς πνευματικῆς τροφῆς, ὅσον ἀναλογιζομένοις, καὶ τῶν πάνυ ἂν εἴη σμικρῶν, τοῦ λόγου ταύτῃ ἀπὸ τοῦ μεγίστου ἐπὶ τὸ ἐλάχιστον (§. ψο΄.) μεταπίπτοντος.

Καὶ ἀνασκευαστικῶς καθ᾽ ὁμοιολογίαν ὡσαύτως. Οἷον, Εἰ μὴ τῷ φύσαντι ἐπετράπη ἐμπαροινῆσαι, τί θαυμαστὸν εἰ μὴ καὶ πρόσωπον οὕτος ᾐδέσθη τὸ τοῦ διδάξαντος; θαυμαστὸν οὐδέν. Σχεδὸν γὰρ ὅμοιον.

§. ψογ΄. Ἐξ ἡγουμένου τε καὶ ἑπομένου ἀντικειμένων τε ἀλλήλοις, καὶ πρὸς ἔτι ἀντικείμενα λόγον ἐχόντων τὸν αὐτόν, Ὑποθετικοὶ συνίστανται συλλογισμοί, ὅμοιοι τοῖς ἀνωτέρω. Οἷον,

Εἴπερ ὁμιλίαι φαῦλαι φθείρουσιν ἤθη χρηστά, ὁμιλίαι χρησταὶ βελτιοῦσιν ἤθη φαῦλα.

Ἀλλαμὴν τὸ Α. Ἄρα καὶ τὸ Β.

§. ψοδ΄. Τοὺς οὖν ἐξ ὁμοίων (§. ψοβ΄.), καὶ ἀντικειμένων (§. ψογ΄.) Ὑποθετικοὺς ὅτι δὴ ῥᾴδιον ἐστὶν, ἐπὶ τὰ ἐνθυμήματα (§. ψμα΄. κξ.) καὶ τὰ παραδείγματα (§. φοϛ΄. κξ.) μεθαρμόζειν, καὶ ἀνάπαλιν ἐπὶ τούτους ἐκεῖνα, ἐκ πείρας εἰόντε μαθεῖν.



## Περὶ Διλήμματος.

### §. ψοε΄.

Τὸ δὲ Δίλημμα, (ὃν καὶ δίκερων καλοῦσιν, ἢ κερατόεντα Συλλογισμόν, καὶ, κατὰ τὴν Κρατίνου Βένδην, δίλογχον.) οὐκ ἀεὶ ἐκ διμεροῦς συνίσταται προτάσεως, ἀλλ᾽ ἔστιν ὅτε καὶ ἐκ τριῶν συμμεροῦσης μερῶν, καὶ πλειόνων. Εἶδος δὲ πίστεως ἐστὶν, ἐν ᾧ διαιρέσεως ἡγουμένης, τὸ κατὰ τῶν μερῶν ἑκάστου, καὶ κατὰ τοῦ ὅλου τέως συνάγεται. οἷον,

Δημόκριτος ἀεὶ γελῶν, ἤτοι τῶν φαύλων τὸν πολὺν καταχέων ἐτύγχανε γέλωτα, ἢ τῶν ἀγαθῶν, ἢ τῶν οὐδετέρως ἐχόντων.

Ἀλλ᾽ εἰ μὲν τῶν τρίτων, ψυχρῶς· οὔτε γὰρ ἐλεεινὰ τὰ τοιαῦτα, οὔτε καταγέλαστα.

Εἰ δὲ τῶν ἀγαθῶν, ἀτόπως. Οὐ γὰρ τὰ ἀγαθὰ γέλωτος ἐστὶν ἄξια.

Εἰ δὲ τέως τῶν φαύλων, εἰκὸς ἦν ἐπ᾽ αὐτοῖς καὶ θρηνῳδεῖν, ἢ γελᾶν.

Ἀτόπως ἄρα καὶ παρὰ τὸ εἰκὸς ἀεὶ γελῶν ἐτύγχανεν ὁ Δημόκριτος.

§. ψοϛ΄. Ὥρισαι δὲ (1) ἀκριβέστερον ἔτι τὸ Δίλημμα Συλλογισμὸς ὑποθετικὸς (§. ψξϛ΄.) ἢ Αἰτιολογικὸς (§. ψνη΄.), ἐν ᾧ τὸ ἑπόμενον (§. υιη΄.), ἢ ἡ αἰτιολογία (§. υιθ΄.) πρότασις ἐστὶ Διαζευκτικὴ (§. υκδ΄.), καὶ τὸ ὅλον αἴρεται, (τὸ ἡγούμενον, ἢ τὸ αἰτιατὸν δηλ.) ἐπὶ τοῦ Συμπεράσματος, τῶν τοῦ ἑπομένου, ἢ τῆς αἰτιολογίας μερῶν, κατὰ τὴν ἰσομερῆ ἐλάσσονα προαναιρουμένων. Οἷον ὑποθετικῶς μέν,

Εἴπερ ἀριθμὸς ἡ μονάς, ἤτοι περιττὸς ἂν εἴη, ἢ ἄρτιος.

Οὐκ ἔστι δὲ περιττός. (τί γὰρ ἂν τῷ ἑνὶ μοναδικῶς ἔχοντι περιττεύσειε;).

Οὐδὲ

(1) Ὅρα καὶ Οὐόλφ. Λογ. §. 482. Καίτοι διὰ μόνου τοῦ ὑποθετικοῦ τὸ Δίλημμα γνωρίζοντα.